τος Πόλεμος. συντεθὲν μὲν πρὶν παρὰ τινὸς σοφοῦ ἀνδρὸς, καλλωπισθὲν δὲ νῦν, καὶ διορθωθὲν μετὰ πολλῆς ἐπιμελείας παρὰ τοῦ ὁσιωτάτου ἐν μοναχοῖς κυρίου Νικοδήμου ἐν ᾧ προσετέθησαν παρὰ τοῦ αὐτοῦ καὶ εὐχαὶ κατ' ἀλφάβητον ἐν εἴδει Οἴκου εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν κατανυκτικαὶ καὶ ὡραῖαι. Νῦν πρῶτον τύποις ἐκδοθὲν, εἰς κοινὴν τῶν ὀρθοδόξων ὠφέλειαν· αψϟς'. Ἐνετίῃσιν 1796, ἐν τῷ τυπογραφείῳ τοῦ ποτὲ Δημητρίου Θεοδοσίου, νῦν δὲ Πάνου Θεοδοσίου· εἰς 8ον.

(346) — Κυριακοδρόμιον, ἤτοι ἑρμηνεία καὶ μετ' αὐτὴν ὁμιλία εἰς τὸ κατὰ Κυριακὴν ἐν ταῖς ἁγίαις τῶν ὀρθοδόξων ἐκκλησίαις ἀναγινωσκόμενον Εὐαγγέλιον, συντεθὲν ὑπὸ τοῦ πανιερωτάτου Ἀρχιεπισκόπου Νικηφόρου τοῦ πρώην Ἀστραχανίου καὶ Σταυρουπόλεως, ἀφιερωθὲν δὲ τῇ πανσέπτῳ Τερακτύϊ τῶν ἁγιωτάτων Πατριαρχῶν ὑπὸ τοῦ τιμιωτάτου κυρίου Ἀναστασίου Ζωσιμᾶ τοῦ ἐξ Ἰωαννίνων καὶ τῶν αὐταδέλφων αὐτοῦ, ἰδίᾳ τε δαπάνῃ ἐκδοθὲν, ἵνα δωρεὰν διανεμηθῇ ἐν ταῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις. Ἐν Μόσχᾳ. Ἐν τῷ τῆς Κοινότητος τυπογραφείῳ παρὰ Ῥηδηγέρῳ καὶ Κλαυδίῳ, ἔτει 1796. Τόμ. 2. εἰς 4ον.

(347) — Βιβλιάριον κατὰ Λατίνων, ἔχον ὄνομα Ἐγκύκλιος Ἐπιστολή· γραφεῖσα παρὰ τοῦ σοφωτάτου Κυρίου Εὐγενίου, διδασκάλου τῆς ἤδη συγκροτηθείσης ἐν τῷ ἁγιωνύμῳ ὄρει σχολῆς, συντόμως ἀπαριθμοῦσα τὰς Λατίνων μίαν πρὸς μίαν καινοτομίας, ἐκπομπεύει. Ἔτι δὲ περιέχει τὸ Πάτερ Ἡμῶν, ἐπιτηδείως ὅλον ἁρμοσθὲν ὑπὸ σοφοῦ τινος ἱερέως εἰς τὸν Πάππαν, ὡς Λατίνων ὄντα Θεόν. Ἤδη δὲ τύποις ἐκδοθεῖσα ἐπὶ τοῦ Παναγιωτάτου Οἰκουμενικοῦ Πατριάρχου Κυρίλλου, πρὸς ὃν καὶ προσφωνεῖται. Ἐν Κωνσταντινουπόλει. σωτηρίῳ ἔτει αψϟς'. εἰς 12ον.